# Inedita et nuper primum edita.

## IX.

Post finem et subscriptionem Historiarum:

*Τοῦ αὐτοῦ Τζέτζου στίχοι περὶ διαφορᾶς ποιητῶν· λογιζέσθωσαν δὲ μὴ ὡς στίχοι ἀλλ' ὥσπερ συντώματα (l. συντάγματα) καταλογάδην γραφόμενα.*

*Ποιητικῶν μέλλουσιν ἄρχεσθαι λόγων*
*χρεὼν διδάσκειν πρῶτα τὰς διαιρέσεις·*
*οὕτω γὰρ εὐσύνοπτον ἔσται τοῖς νέοις.* 1)
*Καὶ δὴ τὸ λοιπὸν* *) *ἐγκαταρκτέον λέγειν.*
*Ποιητικὴν γίνωσκε σὺ, γένος νέε,*
*πολλὰς τομὰς φέρων* (l. *φέρειν*) *τε καὶ διαιρέσεις.*
*Τὸ μὲν γὰρ αὐτῶν λυρικὴν κλῆσιν φέρει,*
*ἄλλο τραγικὴν, κωμικὴν, μονῳδίαν,*
*καὶ σατυρικὸν, καὶ διθύραμβον πάλιν·*
*ἰαμβογραφία τε τούτοις συντρέχει,*
*ποιητικόν τε πᾶν ἀνώνυμον* 2) *γένος·*
*καὶ δὴ τὸ πᾶν γνώρισμα σαφηνιστέον.*
*Τῶν λυρικῶν γνώρισμα πρῶτον ἡ λύρα·*
*πρὸς γὰρ λύραν ἔμελπον αὐτοὶ τὰ μέλη.*
*εἶχον δὲ πεντήκοντα τοὺς χοροστάτας,*
*καὶ βοῦς τὸ δῶρον κυκλικῶς ἑστηκότων·*
*ὅθενπερ αὐτοὺς τις καλεῖ ταυροσφάγους.* **)
*τοῦ λυρικοῦ κύκλου δε σύστημα τόδε·* ***)
*Κόριννα, Σαπφὼ, Πίνδαρος, Βακχυλίδης,*

*) Ad marginem in Cod. scripta sunt quae sequuntur. *Τολοιπὸν οἱ λοιποὶ ἄνευ βαρείας γράφουσι· Τζέτζης δὲ αὐτὸ, τὰ νῦν, τὰ μάλιστα καὶ πᾶν ὅμοιον βαρύνει.*

**) *Κρατῖνος ὁ κωμικός.*

***) *Σημείωσαι πόσοι λυρικοὶ ποιηταί.*

Ἀνακρέων, Ἴβυκος, Ἀλκμὰν, Ἀλκαῖος,
Στησίχορος τὲ καὶ Σιμωνίδης ἅμα,
δεκὰς ἀρίστη, παντελὴς, πληρεστάτη.
τὴν φαλλικὴν μάνθανε καὶ κωμῳδίαν·
ἄμφω πρὸς ὠφέλειαν εὕρηνται βίου,
τὴν δ'εὕρεσιν μάνθανε πῶς ἐφευρέθη.

Πένητες ἄνδρες Ἀττικοὶ, γῆς ἐργάται,
ἀδικίας πάσχοντες ἐν γεωργίαις
ἐξ Ἀττικῶν 3) μὲν εὐγενῶν δε τῷ γένει,
ἀντιλέγειν δὲ μὴ σθένοντες μηδόλως,
συνεργὸν ἐξεύραντο τὸν νυκτὸς χρόνον·
κώμαις γὰρ αὐτοὶ ταῖς στενώπαις τριόδοις
κῶμα κατ' αὐτὸ καὶ γλυκὺν ὕπνου χρόνον
περιτρέχοντες καὶ λέγοντες τὰς βλάβας
θόρυβον εἰργάσαντο τοῖς πέριξ μέγαν,
ὡς ἡλίου τρέχοντος ἡμέρας δρόμον
ζητεῖν, ἐρευνᾷν πανταχοῦ τοὺς αἰτίους,
καὶ τοὺς γεωργοὺς τοὺς παθόντας τὰς βλάβας·
ἐπεί δ' ἐφευρέθησαν οἱ γῆς ἐργάται,
ᾔτησεν αὐτοὺς Ἀττικὴ γερουσία
κώμοις παρ' αὐτοῖς καὶ πότοις Διονύσου
τελουμένοις κώμαις τε καὶ τοῖς χωρίοις
βλάβας κατειπεῖν ἃς ἔλεξαν ἐννύχως·
οἱ δ' αὖ θέλοντες ἅμα καὶ δεδοικότες
τρυγὶ καταχρίσαντες αὐτῶν τὰς θέας 4)
ἀγνωστοφανεῖς εἶπον ὡς πρὶν τὰς βλάβας·
ἐπεί δ' ἐσωφρόνισε τὸ πρᾶγμα πόσον,
ἔδοξε πᾶσι τοῖς σοφοῖς βουληφόροις
πρὸς σωφρονισμὸν τοῦτο παντὸς τοῦ βίου
ἀεὶ τελεῖσθαι τοῖς ἐτησίοις κύκλοις,
ἐαρινῷ μάλιστα καιρῷ δε πλέον.
καὶ πρῶτον αὐτὰ πῶς μετῆλθον ἀγρόται,
κωμῳδίαν δή φημι καὶ τραγῳδίαν
καὶ σατυρικὴν τῶνδε τὴν μεσαιτάτην.

Ἄνδρας μετ' αὐτοὺς ἀξιοῦσι πανσόφους
ἅπαντα πράττειν εὐγενῶς καὶ κοσμίως,
οὕσπερ τὸ λοιπὸν καὶ διδασκάλους ἔφαν.
Κλῆσις δὲ τοῖς σύμπασιν ἦν τρυγῳδία·
χρόνῳ διῃρέθη δε κλῆσις εἰς τρία,
κωμῳδίαν ἅμα τε καὶ τραγῳδίαν
καὶ σατυρικὴν τῶνδε τὴν μεσαιτάτην.
Ὅσον μὲν οὖν ἔσχηκε τὴν θρηνῳδίαν,
τραγῳδίαν ἔφασαν οἱ κριταὶ τότε·
ὅσον δὲ τοῦ γέλωτος ἦν καὶ σκωμμάτων,
κωμῳδίαν ἔθεντο τὴν κλῆσιν φέρειν·
ἄμφω δὲ πρὸς σύστασιν ἦσαν τοῦ βίου·
ὁ γὰρ τραγικὸς τῶν πάλαι πάθη λέγων,
Ῥήσους, Ὀρέστας, Φοινίκας, Παλαμήδεις,
τοὺς ζῶντας ἐξήλαυνεν ἀγερωχίας·
[ὁ] κωμικός δε πῶς γελῶν κωμῳδίαις
ἅρπαγα τινὰ καὶ κακοῦργον καὶ φθόρον,
τὸ λοιπὸν ἡδραίωσεν εἰς εὐκοσμίαν.
Οὕτω λύει μὲν ἡ τραγῳδία βίον,
βαθροῖ δε καὶ πήγνυσιν ἡ κωμῳδία
ὁμοῦ σκυθρωποῖς τῇ χαρᾷ μεμιγμένη.
Διαφορὰν ἔφημεν αὐτῶν ἀρτίως, *)
νῦν
τοὺς εὑρετάς δε τοιγαροῦν μοι λεκτέον.
Τριττὴν νόει δε πρῶτον τὴν κωμῳδίαν,
πρώτην, μέσην, ἔπειτα καὶ τὴν ὑστέραν.
Πρώτης μὲν ἦν ἴδιον ἐμφανὴς ψόγος,
ἣν ἦν κατάρξας εὑρετὴς Σουσαρίων. **)

*) Καταχρηστικῶς ἀντὶ τοῦ ἄρτι.

**) Σουσαρίων οὗτος, ὁ κωμικὸς, φαύλης τῆς γυναικὸς τούτου φανείσης καὶ τοῦτον ἀπολειπούσης, εἰσελθὼν ἐν τῷ θεάτρῳ ἐφθέγξατο ταδί·

Ἀκούετε λεῴ, Σουσαρίων λέγει τάδε,
υἱὸς Φιλίνου Μεγαρόθεν Τριποδίσκιος·
κακὸν γυναῖκες, ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν εὑρεῖν οἰκίαν ἄνευ κακοῦ.

Ἰστέον δὲ ὡς τῶν Σουσαρίωνος τούτου ποιημάτων μόνα ταῦτα κα-

Τῆς δευτέρας ἦν ὁ ψόγος κεκρυμμένος (sic),
ἧς ἦν Κρατῖνος, Εὔπολις, Φερεκράτης,
Ἀριστοφάνης, Ἕρμιππός τε καὶ Πλάτων.
Καὶ τῆς τρίτης ἦν ὁ ψόγος κεκρυμμένος
πλὴν κατὰ δούλων καὶ ξένων καὶ βαρβάρων·
ἧς ἦν Μένανδρος ἐργάτης καὶ Φιλήμων.
Τραγῳδίας μάνθανε τοὺς διδασκάλους,
Θέσπιν, Φρυνίχον, Αἰσχύλον, Σοφοκλέα,
ὕστατος αὐτῶν Εὐριπίδης Μνησάρχου,
κἄνπερ κατεῖδε τὸν σοφὸν Σοφοκλέα.
Σατυρικόν δε Πρατίναν οἶδα μόνον,
ἄλλους δ' ἐφευρὼν, εἰ θέλεις, τέκνον, γράφε.
Εἰ δ' ἀκριβῶς ἅπαντα μανθάνειν θέλεις,
Ὅμηρος ἐστὶ καὶ πατὴρ κωμῳδίας
καὶ σατυρικῆς ἅμα καὶ τραγῳδίας,
ἄλλης τὲ πάσης ἐν λόγοις εὐτεχνίας·
τούτοις δὲ κοινὸν τοῖς τρισὶ χοροστάταις
ἐν τετραγώνῳ τῇ στάσει καθεστάναι. *)
Τράγον τε πρὸς δώρημα τῆς νίκης φέρειν
καὶ δημοσίαν τὴν τροφὴν ἐσχηκέναι,
μιμητικῶς τε πάντα δρᾷν τῇ θυμέλῃ,
ὅθενπερ ἐσχήκασι κλῆσιν δραμάτων·
μίμους γὰρ ἐκτρέφοντες ἄνδρας θυμέλης
μιμητικοῖς ἔπραττον ἅπαντα τρόποις,

τελείφθη τὰ τέσσαρα ἰαμβεῖα· ἣ δὲ λέξις ἡ λέγουσα Τριποδίσκιος τοῦ, φησὶ, ἀπὸ πόλεως Τριποδίσκου, μιᾶς τῶν Μεγαρικῶν πόλεων.

*) Τοῦτο εἶπον ἠπατημένος τοῖς ἐξηγουμένοις Εὐριπίδην καὶ Σοφοκλέα, γράψασιν οὕτω. 5) Τὸ δρᾶμα τὸ τῆς Ἀλκήστιδος Εὐριπίδου καὶ ὁ Ὀρέστης, καὶ ἡ Σοφοκλέους Ἠλέκτρα, καὶ ὅσα τοιαῦτα σατυρικὰ ἐστὶ καὶ οὐ τραγικά· ἀπὸ συμφορῶν γὰρ καὶ δακρύων εἰς χαρὰν καταντῶσιν. Οὕτω μὲν οὖν ἔγραψα περὶ τῶν σατύρων τούτοις ἠπατημένος· 6) ἐντυχὼν δὲ σατυρικοῖς δράμασιν Εὐριπίδου αὐτὸς μόνος ἐπέγνων ἐκ τούτων σατυρικῆς ποιήσεως καὶ κωμῳδίας διάφορον· ἡ μὲν οὖν κωμῳδία δριμέως δριμέως (sic) τινων καθαπτομένη διαβολαῖς, ἐπὶ λοιδορίαις κινεῖ γέλωτα· ἡ δὲ σατυρικὴ ποίησις ἄκρατον καὶ ἀμοιγῆ (l. ἀμιγῆ) λοιδορίας ἔχει τὸν γέλωτα πάνυ ἥδιστον, οἷον τὸν ἐν θυμέλαις.

ἀνδρῶν, γυναικῶν ἐκμιμούμενοι θέας.
Ταῦτα τὰ κοινὰ τῶνδε καὶ μεμιγμένα·
διαφορὰν μάνθανε τῆς κωμῳδίας,
ἧς εἰκοσιτέσσαρες οἱ χορεργάται,
ἑκκαίδεκα δὲ σατύρων τραγῳδίας.
Κώμῳδίας ἔφημεν εἶναι τὸν γέλων,
τραγῳδίας πάλιν δε τὴν θρηνῳδίαν,
τῶν σατύρων γέλων δε καὶ θρηνῳδίαν.
Κλῆσιν δε νῦν μάνθανε τῆς κωμῳδίας·
κώμαις στενώποις κώματος πρὶν ἐν χρόνῳ
ἐφευρέθη μὲν, ὡς ἔφην ἀνωτέρω·
ἀγρῶν δε κώμαις ἐκτελουμένη τότε
κώμας παρ' αὐτὰς καὶ πότοις Διονύσου,
κωμῳδίας ἔσχηκε κλῆσιν εὐλόγως.
Τραγῳδία δὲ παρὰ τὴν οἴνου τρύγα,
ἐν ἧπερ ἐξέχρισαν τὰς αὐτῶν θέας,
ἢ παρὰ τὴν τρύγα δε τὴν δωρουμένην,
ἤτοι τὸν οἶνον Ἀττικῷ πάντως λόγῳ,
ἢ τὸν τράγον δε καὶ τετράγωνον στάσιν,
ἢ τὴν τραγῳδίαν*) τε καὶ θρηνῳδίαν.
Τὸ σατυρικὸν ἐκ σατύρων εὑρέθη·
τοὺς ἀγρότας δε πρὶν ἐκάλουν σατύρους·
ἐκ τῶνδε γοῦν εὕρηκε τὴν κλῆσιν τόδε·
ἔσχηκε καὶ κλῆσιν δε ταῦτα δράματα,
οὐ μὴν δὲ λοιπὸν ὡς τὰ λοιπὰ γράμματα·
ἐδρῶντο καὶ γὰρ ἐν μίμοις πρὶν ἀνδράσιν **)
εἰς Τηλέφου μίμημα καὶ Φιλοκτήτου
οὐδ' ἐν μόνοις γράμμασιν εἶχε τὴν στάσιν.
Μονῳδίαν μάνθανε σὺν αὐτοῖς, τέκνον·
γίνωσκε κυρίαν δε τὴν μονῳδίαν
ὃ παναμόνος (sic) λέγῃ τις ἐν θρηνῳδίαις,
κατὰ δὲ παράχρησιν, ἂν λέγῃ μόνος,

*) Ἔστι δὲ καὶ ζῶον.
**) Hic in codice versus rasura deletus est.

ὥσπερ Λυκόφρων εἰς Ἀλεξάνδραν γράφει· 7)
ἄλλοις γάρ ἐστι τραγικοῖς χορεργάτης
πολλὰς γεγραφὼς καὶ σοφὰς τραγῳδίας.
Ἔφην τὸ λοιπὸν καὶ μονῳδές (sic) σοι, τέκνον·
τοὺς διθυράμβους τοιγαροῦν μοι λεκτέον.
Οὗτοι λυρικοὶ καὶ χορὸν καὶ τὴν στάσιν
καὶ δῶρον εἶχον· τὰ δὲ λοιπά μοι μάθε.
Οἱ πρὸς τὸν Διόνυσον γράφοντες λόγους
παμπλειστοσυστρόβητον ἔγραφον μέλος,
οἷονπερ αὐτὸς στίχον ἀρτίως *) ἔφην,
ᾀσματοκαμπῶν πλειστοποικίλῳ τρόπῳ.
Ταῦτα δ' ἐποίουν ἐκμιμούμενοι (cod. ἐκμιμοι) τρόπους
τοὺς βακχικούς τε καὶ στροφὴν πολυστρόφον.
Κλῆσιν δε διθύραμβον ἔσχον, ὦ τέκνον,
ἐκ Διονύσου βακχικοῦ χοροστάτου,
ὅστισπερ ἐξέδραμεν θύρας τὰς δύο,
μηρὸν Διός τε καὶ Σεμέλης γαστέρα.
Φιλόξενόν δε τὸν Κυθήριον λέγε
τῶν διθυράμβων εὑρετὴν συγγραμμάτων.
Ἰαμβογράφους γλωττοτοξότας νόει,
Πάριον Ἀρχίλοχον αἰσχρὸν ἐν λόγοις,
καὶ δεινὸν Ἱππώνακτα πικρίας πλέων,
οὗπερ παρεισέγραψέ τις τύμβῳ τάδε·
Οὐ βότρυν ἀλλ' ἄχερδον ἐν τάφῳ φέρει,
στύφοντα, πικραίνοντα πικρίᾳ λόγων.
Ἀλλά τις Ἱππώνακτος ἐλθὼν εἰς τάφον
τὸν ἄνδρα κνώσσειν 8) εὐμενῶς εὔχου κάτω.
Ἰὸν δέ πως βάζοντες ἐμπίκροις λόγοις
κλῆσιν κατεπλούτησαν ἰαμβογράφων.
Ποιητικόν δε πᾶν ἀνωνύμως λέγε
ὅπουπερ εὑρήσειας αὐτός μοι, τέκνον,
ἡρωϊκὸν μέτρον τε καὶ μύθους ἅμα,

*) Ἀρτίως ἐπὶ τοῦ ὑγιῶς λέγεται, ἀρτὶ δὲ ἀντὶ τοῦ νῦν· νῦν δὲ ἀρτίως εἶπον ἀντὶ τοῦ ἄρτι, ὥσπερ Σοφοκλῆς καὶ ἕτεροι.

λέξιν τὲ ποιὰν ἱστορικήν τε φράσιν·
πεντάς δε τούτων ἐστὶν ἐξηρημένη,
Ὅμηρος, Ἡσίοδος, Πάνυσις (sic) τρίτος,
Πείσανδρος, Ἀντίμαχος, οἱ δ' ἄλλοι νέοι
ὥσπερ τὸν ἑσμόν· τίς διαγράψοι λόγος;
οὕτω τὰ πάντα σὺ μαθὼν κατ' ἀξίαν,
γίνωσκε καλῶς καὶ διακρίνων βίβλον.

---

## Τοῦ αὐτοῦ ἴαμβοι τεχνικοὶ περὶ κωμῳδίας.

Ἐπείπερ ἡμῶν τοῖς ἀτέχνοις πρὶν στίχοις
τριπλῆν τελεῖν εἴρηκα τὴν κωμῳδίαν,
πρώτην ὁμοῦ, μέσην τε καὶ τὴν ὑστέραν,
ἔφην δὲ καὶ γνώρισμα τῶν τριῶν τότε,
οὐκ ἀκριβῶς ἔφην δε πᾶν μέχρι πέλου (l. τέλους),
τὰ νῦν φέρε γράψωμεν ἠκριβωμένως,
πόσα μέρη τε τυγχάνει κωμῳδίας,
καὶ τῆς παραβάσεως ὁπόσα δὲ τὰ μέρη,
τίνα τὲ ταῦτα, τεχνικῶς τε πῶς πρέπει
κωμῳδίας γράφειν τε καὶ τραγῳδίας.
Μέρη μέν εἰσι τέσσαρα κωμῳδίας,
πρῶτον πρόλογος τὸ μέχρι χοροῦ τὴν εἴσοδον,
τὸ τοῦ χοροῦ μέλος δε δεύτερον λέγω,
ἐπείσοδος τρίτον δε· (sic) τί δε τυγχάνει
λόγος μεταξὺ πλὴν μελῶν χοροῦ δυο·
τέταρτον ἐστὶν ἔξοδος· ταύτης μέρος
λόγος χοροῦ τις τῷ τέλει λελεγμένος.
Τόσα μέρη μὲν εἰσὶ τῆς κωμῳδίας.
Ἑπτά δε παραβάσεως εἰσὶ μέρη,
ἃ νῦν σαφῶς ἄκουε τῷ λεπτῷ λόγῳ.
Ὁ κωμικὸς χορὸς μὲν ὀρχήστρας τόποις, *)
τὴν, ἣν λογεῖον νῦν καλοῦμεν ἡ.. γμένον,

*) Δέκα ἑτέροις μέτροις ἐχρῶντο, ἃ περὶ τὸ τέλος τοῦδε εὕρῃς, καὶ τῷ τετραμέτρῳ τῶν ἀναπαιστῶν.

ὑποκριταῖς μὲν προσλαλῶν ἄλλοις μέτροις,
σκηνὴν πρὸς αὐτὴν ἣν ὁρῶν κωμῳδίας,
αὐτῶν ἀπελθόντων δε πρὸς δῆμον βλέπει,
ὃ καὶ στροφὴν ἔσχηκε τὴν κλῆσιν φέρον.
Ἐκ τετραμέτρων ἓξ τὲ καὶ δέκα στίχους
ἀναπαιστικούς δε τοῖς μέτρ[οις ἐφθέγγετο a sec. manu]
ἀντιστροφὴν δ' ἔφασκεν, εἶτα δευτέρως
τοιῷδε μέτρῳ καὶ ποσῷ τόσων στίχων.
Τοὺς δ' αὖ στροφῆς λόγους τε⸗συναντιστρόφῳ (l. σὺν ἀντ.)
ἅπας παλαιὸς πῶς ἐπίῤῥημα λέγει.
Ἡ πάροδος ὅλη χοροῦ δε παραβάσις,
κἂν οὖν ἐπὶ θέατρον ἐκ πολισμάτων
ἐδείκνυ δῆθε τὴν ὁδὸν ποιούμενος,
ἀριστερᾶς ἔβαινεν ἁψῖδος τόπων·
εἰ δ' ὡς ἀπ' ἀγροῦ, δεξιᾶς διὰ τόπων
ἐν τετραγωνίζοντι τοῦ χοροῦ τύπῳ,
ὑποκριταῖς τὸ βλέμμα δεικνύων μόνοις·
ὧν ἐκδραμόντων ἑπτάκις ἐστραμμένος
χορὸς καθώρα πρὸς διπλὴν δήμου στάσιν,
τὸ δ' ἑπτασυστρόβητον ὄρχημα τόδε.
Παράβασιν ἔσχε τῷ γένει κλῆσιν φέρειν, (sic)
ὄρχησις ἡ πρώτη τε τὴν κλῆσιν γένους,
μακρὸν δὲ δὴ πνῖγος τε τὸ τρίτον πάλιν,
τέταρτον ᾠδὴ καὶ στροφὴ κλῆσιν φέρει·
τὸ πέμπτον αὖτε τις ἐπίῤῥημα λέγει,
τὸ δ' ἕκτον ἔσχε κλῆσιν ἀντῳδὴν φέρειν,
ἀντιστροφὴν ἅμα τε σὺν αὐτῇ λέγω·
τὸ δ' ἕβδομον τις ἀντεπίρρημα λέγει.
Τζέτζῃ δ' ἀρεστὸν οὐδαμῶς ἐστι τόδε,
οὐδ' αὖ τὸ πέμπτον, ἀλλά σοι ταῦτα λέγει·
τὰς πρακτικὰς μὲν συστροφὰς χοροῦ δύο,
σκηνὴν πρὸς αὐτὴν πρός τε τὸν δῆμον νόει,
στροφὰς καλεῖσθαι, σὺν δὲ μὲν, ἀντιστρόφους *)

*) Κατὰ τὸν Τζέτζη τὰ ἑπτὰ εἴδη τῆς παραβάσεως ἢ μέρη· ἐκβάλ-

τοὺς τετραμέτρους οὓς ἔφη δε τῶν στίχων
τρανῶς ἐπιῤῥήματι τοὺς πρώτους λέγει,
τοὺς δευτέρους αὖ ἀντεπίῤῥημα πάλιν.
Τζέτζης μὲν αὐτὰ τῶν μερῶν τῆς ἑπτάδος
παρεξελών τε καὶ διώξας μακρόθεν
ᾠδὴν διαιρεῖ καὶ στροφὴν ὡς πρὸς δύο
ἀντιστροφὴν αὐτήν τε κἀντῳδὴν ἅμα·
οὕτω τὲ πληροῖ σοι πάλιν τὴν ἑπτάδα,
ᾠδὴν καλεῖ δε πρόσθε τοὺς (l. προσθέτους) τινὰς λόγους,
στροφὴν πάλιν δε τοὺς πρὸς ἀνθρώπων λόγους,
τὴν δ' ἀντοῳδὴν (sic) εἰς θεοὺς πάλιν λέγει,
ἀντιστροφὴν δέ πρὸς γονᾶς ἐτησίους.
Ταῦτα μὲν οὕτω καὶ ταδὶ δέ μοι μάθε·
ὡς ἡ παλαιὰ συγγραφὴ κωμῳδίας
ἦρτο πρὸς ὄγκον Ἀττικῆς γλώσσης λόγοις,
ἐχρῆτο καὶ μέτροις δε ποικίλοις στίχων,
χορῶν τὲ χρείαν εἶχεν· ἡ νέα δέ γε
γλώττης σαφοῦς πρῶτα μὲν ἥρμοστο λόγοις,
πλείστῳ δὲ χρῆται τῶν ἰάμβων τῷ μέτρῳ·
καὶ δὴ σὺν αὐτοῖς καὶ χορῶν ἀποτρέχει,
τὸ τοῦ σκοποῦ δε πλάσμα καὶ λέξις ἅμα.
Παρεισφοροῦσιν ἡδονὴν κωμῳδίαις *)
καὶ τὸν γέλωτα τοῖς ὁμωνύμοις πλέον
ἐσχηματισμένα τε καὶ παρῳδίαι
καὶ κλήσεων πλάσεις δε καὶ μεταπλάσεις·
σὺν οἷς κορισμοὶ καὶ καταχρήσεις ἅμα.

Σκαμβῶν μετ' αὐτὰ νῦν μελῶν κλῆσιν μάθε·
λέγοντες ἦσαν ταῦτα καιροῖς τῶν πότων·
σκαμβά δ' ἔφασκον ὡς ἁπλᾶ μᾶλλον τάδε·

λει μὲν τὸ ἐπίρρημα ἐκ τοῦ πέμπτου τόπου· καὶ τὸ ἀντεπίῤῥημα ἐκ τοῦ ἑβδόμου. παράβασιν δὲ καλεῖ τὸ γένος, καὶ τὸ πρῶτον ὄρχημα· τρίτον μακρὸν καὶ πνίγος. τέταρτον ᾠδὴν τὴν καὶ ἐπίῤῥημα πέμπτην· ἀντῳδὴ δὲ τὴν καὶ ἀντεπίῤῥημα· ἕκτον στροφήν· ἑβδομον ἀντιστροφήν.

*) καθηδύνουσι τὴν Κωμῳδίαν.

ἄλλοι δὲ φασὶν ὡς ἀναγκαῖον πότοις
ᾄδειν ὑπῆρχε πρὸς ψαλάγματα λύρας,
ὅσοις ἐνῆν δε μηδαμῶς λύρας τέχνη,
δάφνης λαβόντες εἴτε μυρσίνης κλάδον,
ἦδον, καλοῦντες σκαμβαιὰ (a sec.: σκαμβὰ τὰ) λύρας μέλη·
ἄλλοι δὲ τοὺς ᾄδοντας εἶπον τὴν λύραν,
οὐχὶ κατ' εὐθὺ συστροφαῖς δε λαμβάνειν·
οὕτω τὸ λοιπὸν κλῆσιν ἔσχε τὰ μέλη.

---

## Περὶ τραγικῆς ποιήσεως. *)

Ἄκουε λοιπὸν καὶ τὰ τῆς τραγῳδίας
πόνοις περισσοῖς πρὶν ἐμοὶ συνηγμένα
ἐξ ὧν ὁ Εὐκλείδης τε καὶ λοιποὶ πόσοι
ἔγραψαν ἄνδρες ἐν λόγοις διῃρμένοι.
Τραγῳδία τί ἐστι πρὶν μαθεῖν ἔγνως,
καὶ πῶς ἐφευρέθη δε, καὶ διδασκάλους,
κλῆσιν ὁμοῦ πράξεις τε πῶς λύει βίον.
Νόει διαιρέσεις δε νῦν τραγῳδίας.
Κατὰ τύπον πρῶτον μὲν εἰς μέρη δύο,
εἰς σκηνικόν τε καὶ χοροῦ δὲ τὸν τρόπον· **)
ἕκαστον αὐτῶν αὖ διαιρεῖσθαι νόει
ᾠδὴν πρὸς αὐτὴν, ἀλλὰ καὶ λέξεις λέγω·
ὑποκριτὴς ᾄδει γὰρ ἐν τινὶ χρόνῳ
χοροῦ λαλοῦντος, ἃ λαλεῖν θέλει τότε.
Ἡ λέξις αὖ δίχασμα διπλοῦν λαμβάνει,
ὡς πρὸς μέτρον τὲ καὶ σὺν αὐτῷ περίοδον·
μέτρον, τροχαίους σὺν ἰάμβοις μοι νόει·
ἰαμβικούς δε καὶ ἀναπαίστους περίοδον·
τὸ μὴν τὸ μέτρον καὶ διαίρεσιν φέρει,

*) Σημείωσαι καὶ ἑτέραν διαφορὰν παλαιᾶς καὶ νέας κωμῳδίας.
**) Σημ. τίνα. τὸ χορικὸν μέρος ἦν πρότερον ἐκ λέξεως, ᾠδῆς καὶ ὀρχήσεως ἡ ὄρχησις δὲ χρόνῳ ἐπαύθη.

εἴς τε πρὸς λόγους (l. προλόγους), ἐπεισόδια καὶ ἔξοδον.
Πρόλογος μέν ἐστι τὸ μέχρι χοροῦ τῆς εἰσόδου·
ἐπεισόδιος δέ ἐστιν, ὡς καὶ πρὶν ἔφην,
λόγος μεταξὺ, πλὴν μελῶν χορῶν δύο·
ἡ δ' ἔξοδος τίς (sic) τυγχάνει χοροῦ λόγος,
μεθ' ὃν χοροῖς οὐκ ἔστι τί λέγειν μέλος.
Ἡ λέξις οὕτω τὴν διαίρεσιν φέρει·
τὰ ἃ διῃρέθη τε λέξεων λέγω·
τὴν σκηνικὴν ἄτμητον ᾠδήν μοι νόει,
τὴν τοῦ χοροῦ δε πενταχῇ τετμημένην·
τῶν τμημάτων κλήσεις δε, πάροδος, στάσιμον,
ἥ τ' ἐμμέλεια, κομμὸς ἐξοδούμενα (?)
ἐπὶ τὸ πλεῖστον εἶχε μὲν οὕτως τάδε·
καιροῖς μετετρέποντο δ' αἱ τάξεις ποτέ·
ἕκαστον αὐτῶν ἀκριβῶς δέ μοι μάθε.
Ἡ μὲν πάροδος δὴ τοῖς θεαταῖς δεικνύει,
δι' ἣν ἀφορμὴν ἡ χοροῦ κοινωνία
ἐγγίνεται, πῶς εἰς τὸ δράματος πάθος
ἄλλου χοροῦ λέξις τε πρώτη τυγχάνει.
ᾠδὴν (?) ὁ Εὐκλείδης δε λέξιν οὐ λέγει, *)
ᾠδὴν χοροῦ πρώτιστον αὐταῖς εἰσόδοις
ὡς· Σίγα σίγα, λευκὸν ἴχνον (sic) ἀρβύλης,
ταυτὸν τάχα λέγοντες ἐν πολλοῖς λόγοις.
Μεταπάροδον Εὐκλείδης ἐπιπάροδον λέγει,
ἄλλου χοροῦ δ' ἔλευσιν αὐτήν μοι λέγει·
χοροῦ μετ' ἐξέλευσιν, ὃς πρὶν ἦν λέγων·

*) Τί τὸ γνώρισμα τῆς παρόδου, [ἡ] πάροδος δηλονότι [ὁ] Εὐκλείδης τὴν λέξιν ᾠδὴν καλεῖ ἀλλ' οὐ λέξιν.

Τί Εὐκλείδης καὶ ἐπιπάροδον λέγει, οἱ δὲ λοιποὶ οὔ;

Τί τὸ στάσιμον καθ' ἑτέρους; τί τὸ στ. ἢ κατ' Εὐκλείδην τὸν στάσιμον; τί ἐμμέλεια; ἀντ' ἐμμελείας δὲ ὑπορχηματισμὸν λέγει.

Πότε ἐλέγετο ὁ κομμὸς καὶ τί ἦν; τίνι διαφέρει κομμὸς θρήνου; καθ' ἑτέρους τί ἐστι κόμμος. Σκηνῆς ἤτοι ὑποκριτῶν.

Τί ἐστιν ἔξοδος; || ἐπανάληψις σχῆμα τῆς σαφεινείας. || πενταπλᾶσ καὶ [ὁ?] ἔστι πενθαπλᾶσ ἐωνικῶς, ὡς τὸ Λευκίππη, ἀπηλιώτης καὶ τὰ ὅμοια.

ἔγνως μὲν αὐτά· τὸ στάσιμον δέ μοι μάθε.
Μετ' εἴσοδον μὲν ἔσχε τὴν τάξιν φέρ[ει a sec. m.]
ὅταν τὸ πρῶτον ἐπεισόδιον μὲν γίνεται
τῷ δράματι δ' οὔπω τι τῶν σκυλμῶν (?) μέρος
εἴτ' οὖν μετ' αὐτῶν ἀξιοχρέων πάθος.
Ἄλλοι δὲ τὸ στάσιμον χοροῦ φασὶν μέρος
ἄνευ ἀναπαίστου καὶ τροχαίου τῶν μέτρων·
πάλιν ὁ Εὐκλείδης δε φησὶν ὧδέ πως·
ὅταν χορὸς στάς τι κατάρχεται λέγειν,
λέγει
ὡς δράματι μὲν υἱοῦ Θησέως γράφει·
„ὠκεανοῦ τίς ὕδωρ στάζουσαν πέτραν λέγεται,"
καὶ ταῦτα πολλοῖς ἐν τελοῦσι τοῖς λόγοις.
Τὴν ἐμμέλειαν τοιγαροῦν μοι λεκτέον.
Ἤδη προκοπτούσης δε τῆς τραγῳδίας
τὴν ἐμμέλειαν ᾖδον, ᾠδῆς τι μέλος,
την ἣν ὁ Εὐκλείδης μὲν οὐδαμῶς γράφει.
Μετ' ἐμμέλειαν κομμὸς ἦν λελεγμένος,
ἀκμὴν πρὸς αὐτὴν ἠρμένης τραγῳδίας·
οὗτος δ' ὁ κομμὸς τοῦ χοροῦ τελῶν μέρος,
ὑποκριταῖς ἦν ὡς πολὺ συνηγμένος, *)
κομμὸς δε θρήνου πενθικώτερος πλέον.
Ὁ θρῆνος ἐστὶν ἠρεμέστερον μέλος,
κομμὸν πάλιν ἄλλος δε τίς θρῆνον λέγει·
κοινὸν χοροῦ σκηνῆς τε τυγχάνει λέγων,
καὶ τἄλλα ταὐτά· τί πλατύνομαι λόγους;
τὰ τέσσαρα νῦν τοῦ χοροῦ μαθὼν μέρη
τὴν ἔξοδον τὸ πέμπτον ἀκροῶ μέρος·
ὅπερ μετ' ἐμμέλειαν ἐστὶν εἰς τέλος,
τραγῳδίας δ' ὄρχησις αὕτη τυγχάνει.
Μέρη τὰ πρῶτα τῆς τραγῳδίας ἔγνως]

*) ἡ σκηνικὴ (vid. v. 86) ἀπὸ κοινοῦ προσληπτέον τὸ, ᾠδή· νῦν δὲ τὸ αὐτὸ καὶ ἐν σχῆμα καὶ ἀπὸ κοινοῦ καὶ ἔλλειψις. ἐστί. τοῦτο δὲ γοργότητος.

τὸν σκηνικόν τε καὶ χοροῦ λέγω τρόπον,
ἄμφω τε τούτων τὴν διπλὴν τομὴν πάλιν
ᾠδὴν πρὸς αὐτήν· ἀλλὰ καὶ λέξιν λέγω,
τῆς λέξεως δὲ μέτρα καὶ τὴν περίοδον,
καὶ τὴν το μὲν (l. τομὴν) μέτρου δε τὴν τρισσουμένην,
τὴν εἰς πρόλογον, ἐπεισόδιον καὶ ἔξοδον.
Ἐπείπερ ἔγνως ἀκριβῶς πάντα τάδε,
ᾠδῆς χοροῦ τε πενταπλᾶς διαιρέσεις,
ἅπερ εἰσὶν ἡ πάροδος ὁμοῦ καὶ στάσιμον
ἥ τ' ἐμμέλεια, 'κομμὸς ἐξόδου μέτα·
ἡ σκηνικὴ γὰρ οὐ διαίρεσιν φέρει.
Ἐπείπερ ἔγνως ἀκριβῶς πάντα τάδε,
ἄκουε πάντα νῦν μέρη τραγῳδίας·
ἃ πρὶν ὁ Εὐκλείδης τε καὶ λοιποὶ πόσοι
γράψαντες ὡς γράφουσι συμπεφυρμένως,
καὶ συνθολοῦσι πάντας ἠκροαμένους
μέρη λέγοντες ἐννέα πεφυκέναι,
ἄλλα μὲν ἄλλος· ἃ τανῦν μοι λεκτέον.
Καὶ δὴ κατ' Εὐκλείδην μὲν ἀκροῶ τίνα·
πρόλογος, ὁ ἄγγελος τὲ καὶ ἐξάγγελος,
πάροδος, ἐπιπάροδος, μεθ' ὧν καὶ τὸ στάσιμον
τικὸν?
ἕβδομον ὑπορχηματισμὸν? ἀμοιβαῖον ἔπειτα (sic)
ω?
τὸ σκηνικὸν τάττει δὲ πάντων ἐσχάτον.
Πρῶτον λόγον δε τυγχάνειν γίνωσκέ μοι
τῶν ὧν θέλει λέγειν τις ἐκθέσεις λόγων,
ὃς δ' ἂν τὰ ἔξω τοῖς ἔσωθε (a sec. m. ἔσωθι) μηνύει,
β) εἴληχε, φησὶν, ἀγγέλου κλῆσιν φέρειν·
ἐκ δεξιῶν βαίνει δε πρὸς λαιὸν μέρος·
γ) ἐξάγγελος πάλιν δε τὴν κλῆσιν φέρει,
τοῖς ἐκτὸς ὅστις μηνύει τὰ τῶν ἔσω,
διὰ στοᾶς δ' ἔβαινε τῆς λαιᾶς τότε·
δ) πάροδος δὲ, ᾠδὴ τοῦ χοροῦ ἅμ' εἰσόδῳ,

ὥσπερ τὸ, σίγα λευκὸν εἶδος (sic) ἀρβύλης·
ε) ἐπιπάροδος, ἔλευσις δὲ δευτέρου χοροῦ,
μετ' ἐξέλευσιν τοῦ χοροῦ τοῦ πρὶν λέγω·
ὅταν χορὸς στὰς δ' ἐμπαράδη (sic) τί μέλος,
ὡς *) Ὠκεανοῦ τίς ὕδωρ λέγεται στάζειν πέτρα.
ϛ) Στάσιμον, τὸ μέρος εἴληχε τὴν κλῆσιν φέρειν
τὴν δ' ἐμμέλειαν οὗτος ὑπόρχησιν λέγει. **)
ζ) ᾠδὴν χοροῦ τελοῦσαν ὀρχησμοῦ μέτα
ἢ μᾶλλον ἔτι (a sec. ἐστὶ) πρέπουσα δράματι τῶν σατύρων.
αὐτοὶ συν ὀρχήσει γὰρ ᾖδον τῷ (l. τὸ) πάλαι.
η) Τὸ δ' ἐξ ἀμοιβῆς πρὸς λόγον ἐστὶ λόγος,
ϑ) τὸ σκηνικὸν δὲ τυγχάνειν εἶναι νόει,
ὑποκριτοῦ πρόσωπον ἂν ᾠδὴν (?) λέγῃ.
Τραγῳδίας μέρη μὲν Εὐκλείδῃ τάδε·
ἄλλοι δέκα λέγουσι τῇ κλήσει τάδε·
πρόλογόν τε, ῥῆσιν, καὶ ἀμοιβὴν, ἄγγελον,
ἐξάγγελόν τε, σκηνικὴν ᾠδὴν ἅμα,
πρὸς οἷσπερ ἄλλη τῶν μερῶν τετρὰς μέτρῳ,
κούρισμα, σάλπιγξ καὶ σκοπὸς χοροῦ μέτα,
ἃ πέντε πρὶν ἔγνωκας Εὐκλείδου λόγοις,
πρῶτον λόγον μὲν, ἀγγέλους, ἐξαγγέλους,
πρὸς οἷς ἀμοιβὴν, σκηνικῆς ᾠδῆς τρόπον,
τὰ πέντε λοιπὸν σοὶ κατ' αὐτοὺς λεκτέον, ***)
ι? ν?
ἅπερ παρειαθησας Εὐκλείδῃ λόγοις, †)
καθῶς τὰ Εὐκλείδης μὲν (?) αὐτῶν τοῖς λόγοις,

*) Παράφρασίς ἐστὶ στίχου τοῦ Ἱππολύτου δράματος Εὐριπίδης.

**) Ὅτι τὴν ἐμμέλειαν ὄρχησιν ὁ Εὐκλείδης καλεῖ· καὶ τί ἐστιν καὶ πῶς ἐγίνετο καὶ τίσιν ἦν προσφυλές (l. προσφιλής.)

***) τί ῥῆσις δὲ καὶ τὰ λοιπὰ δ' αὖ μέρη
κούρισμα, σάλπιγξ καὶ σκοπὸς χοροῦ μέτα.

†) Ὅτι τινὰ μέρη τῆς τραγῳδίας ὥσπερ τὸ κούρισμα, τὴν σάλπιγγα, τὸν σκοπὸν καὶ τὸν χορὸν παρῆκεν ὁ Εὐκλείδης, ἄλλα δὲ φησὶν ἀντ' αὐτῶν· ἄλλοι δὲ ταῦτα λέγοντες παρῆκαν τῶν Εὐκλείδου, τὴν πάροδον, ἐπιπάροδον, τὸ στάσιμον καὶ τὸ ὑπορχηματικόν.

ἄκουε λοιπὸν τῶν μερῶν την πενταδα.
Ῥῆσις λόγος τίς ἐστιν ἐξηγημάτων
ὑποκριτοῦ λέγοντος ὡς πρὸς τοὺς ὄχλους,
ὥς ἐστι τοῦτο τοῖς Εὐριπίδου λόγοις.
Τὰ μὲν πυλωρῶν κλεῖθρά μ' εἰσεδέξατο. 9)
Κούρισμα δ' ᾠδὴ συμφορᾶς πληρεστάτη
ταύτην ἀδόντων τὰς τρίχας κεκαρμένων.
Σάλπιγξ λόγος δε συμβολὰς μαχῶν λέγων,
σκοπός δ' ὁ δηλῶν ἐκ ξένης παρουσίαν,
πόῤῥωθεν αὐτοὺς εἰσορῶν καὶ προβλέπων.
Χορὸς δέ τι σύστημα πρὸς μέλος λέγων.
Οὕτω μὲν οὗτοι φασὶ συμπεφυρμένως.
ὅταν ὁ Εὐκλείδης δε καὶ Κράτης γράφει
ἄλλοι τε πολλοὶ τῶν λόγοις διηρμένων,
ἄνθρωπε, κἂν κράξωσι τοῖς στρόφοις λόγων,
τὰ σκηνικὰ γράφοντες ἐμπεφυρμένως,
μάθῃς δὲ μηδὲν ἐξ ἐκείνων ὧν θέλεις.
Τζέτζῃ προσελθὼν ἀκριβῶς ἅπαν μάθε
λόγῳ διαυγεῖ καὶ σαφεῖ καὶ συντόμῳ.
Καὶ δὴ τὸ πᾶν ἄκουε λεπτῷ τῷ τρόπῳ.
Κατὰ τύπον πρῶτον μὲν, εἰς μέρη δύο
εἴς τε πρόσωπα καὶ σὺν αὐτοῖς εἰς λόγους
τέχνην διαιρεῖ κωμικὴν, τραγῳδίαν
καὶ τὴν τρίτην ποίησιν, ἣ τούτων μέση·
τὰ δ' αὖ πρόσωπα δευτέρᾳ διαιρέσει
εἴς κυνικόν (l. σκηνικόν) τε καὶ χορὸν τέμνει πάλιν·
ὑποκριτὴν ἕνα τε καὶ πολλοὺς λέγω.
Τὸ σκηνικὸν πρόσωπον αὖ τέμνει πάλιν
εἴς τε σκοποὺς, σάλπιγγας, εἰς τοὺς ἀγγέλους,
ἐξαγγέλους τε πρὸς τρισὶν οἴσπερ λέγω,
τὰ τοῦ χοροῦ δ' ἄτμητα παντελῶς λέγει.
Τὰ τῶν προσώπων ταῦτα τοὺς λόγους πάλιν
ἑξῆς διαιρεῖ πρὸς μέτρα καὶ περιόδους·
μέτρα τροχαίους σὺν ἰάμβοις μοι νόει

τοὺς δ' αὖ ἰάμβους σὺν ἀναπαίστοις περίοδον·
τὰ μέτρα ταῦτα σὺν περιδρόμοις ἅμα
πάλιν διαιρεῖ πρὸς τὰ τέσσαρα μέρη,
λόγους τε, ῥῆσιν, ἐπεισόδιον καὶ ἔξοδον,
εἰς τὰς ἀμοιβὰς εἰς λόγους κουρισμάτων, *)
εἰς σκηνικὴν ᾠδήν τε καὶ χορευμάτων·
τὴν σκηνικὴν ἄτμητον ᾠδὴν αὖ λέγει
τὴν τοῦ χοροῦ δὲ τετραχῆ τετμημένην
εἰς πάροδον, ἐπιπάροδον, στάσιμον, ὄρχημά τε (?)
ἅπερ φέρει σύμπαντα καὶ κωμῳδία,
καὶ τὴν παράβασιν εἰς πλέον τούτων φέρει·
ἧς παραβάσεως ἑπτὰ τελοῦσι τὰ μέρη,
ἃ πρὶν σαφῶς ἤκουσας ἐν λεπτῷ λόγῳ,
ὡς πάντα τἄλλα, καὶ στραφεὶς, βλέπων μάθε.
Ἐπεὶ δὲ καλῶς πάντα σοίπερ ἐγράφη,
ἄκουε λοιπὸν τί τέλος τραγῳδίας.
Μίμησις ἠθῶν, πράξεων, παθημάτων,
ἡρωϊκοῦ τρόπου τε τῆς τραγῳδίας,
σεμνοπρεπῶς (l. σεμνοπρεπὴς) λέξις τε καὶ διῃρμένη.
Χρῶνται δέκα μέτροις δε ταῖς τραγῳδίαις,
διπλοῖς ἰάμβοις, καὶ διπλοῖς τοῖς δοχμίοις,
καὶ τοῖς τροχαίοις, κρητικοῖς καὶ δακτύλοις,
βακχειακοῖς, ἁπλοῖς τε καὶ διπλοῖς λέγω,
καὶ τοῖς χορείοις, προσοδιακοῖς τε τοῖς μέτροις
καὶ τοῖς προκελευσματικοῖς ἐπόλιζον (sic) αὖ μέτροις,
ἰωνικοῖς τε τοῖς ἐλάττοσι λέγω·
ἀντιστροφαῖς μὲν καὶ μελῶν χρῆται στάσει
τοῖς οἷς δεκαπλοῖς νῦν ἐγράψαμεν μέτροις,
τοῖς δ' αὖ τροχαίοις, κρητικοῖς καὶ δοχμίοις,
ἄλλοις τὲ μέτροις οἵπερ εὔδρομοι φύσιν,
χοριομίκτοις σὺν ἰαμβείῳ μέτροις
χρῶνται παρ' αὐτὰς συγγραφὰς τῶν κομμάτων.
Ἐπεὶ δὲ πάντα σοὶ σαφῶς νῦν εἰρέθη,
καὶ τερματούσθω τοιγαροῦν τὸ βιβλίον.

*) Διονύσιος ὁ Ἁλικαρνασσεὺς καὶ ἕτεροι κατὰ τὸν Τζέτζη διαίρεσιν σκηνικῶν δραμάτων, ἤτοι τραγῳδ[ίας], κωμῳδία[ς] καὶ σατύρων.

Codicem, in quo haec invenit Dübnerus, accurate ipse descripsit in primo huius voluminis fasciculo. De apographo ad nos misso ipsa eius apponimus verba: *Die Copie ist diplomatisch genau, nicht ein Accent geändert, und der Codex also sehr gut, da das Stück fast fehlerfrey ist.* Atque ita illud repeti typis curavimus cum omnibus mendis, nisi quod unum alterumve comma additum est, neque scripsimus Ἡλέκτρα, βακχιποῦ, et quaedam emendavimus verba, monito tamen lectore.

1) Haec idem Io. Tzetzes praecipit in Commentariorum ad Hesiodum initio, alter ad Lycophronem.

2) Cod. πανανώνυμον. V. v. 166.

3) Cod. ἐξαττικῶν.

4) θέα, ut v. 120, *Gesicht*, πρόσωπον, non habet Ducange.

5) Apographum: *Τοῦτο εἶπον ἠπατημένος τοῖς ἐξηγουμένοις, Εὐριπίδην καὶ Σοφοκλέα γράψασιν οὕτω.*

6) Alcestin satyrici loco dramatis etiam actam esse docuit fragmentum didascaliae a Gu. Dindorfio editum, in huius Musei Vol. III p. 508. Quod addit Tzetzes: *ἐντυχὼν δὲ σατυρικοῖς δράμασιν Εὐριπίδου*, non facit fidem praeter Cyclopem dramata Satyrica in manus eius venisse.

7) Andronicus περὶ τάξεως ποιητῶν Cod. Paris. 2929 ap. Bekker. p. 1461, ex quo fonte fortasse hausit Tzetzes: *Μονῳδῶν δὲ γνώρισμα τὸ μονοπροσώπως ἀφηγεῖσθαι ὑπόθεσιν οἱανδήτινα, οἷός ἐστιν ὁ Λυκόφρων τὰ τῆς Ἀλεξάνδρας διηγούμενος.*

8) Cod. *Κνῶσσον.* Alcaeus Mitylenaeus Anthol. Pal. VII, 536:

*ἀλλά τις Ἱππώνακτος ἐπὴν παρὰ σῆμα νέηται,*
*εὐχέσθω κνώσσειν εὐμενέοντα νέκυν.*

In quibus animadverte quanto poeta lepore alludat ad Furias in Eumenidas conversas. Idem epigramma Tzetzae in prioribus quoque versibus ob oculos versatum est.

9) Phoen. 261. W.